δεῖ πραγματευθῆναι.
(Cμ.) πεπραγματευμένα
ἔcται. τὸ μετὰ ταῦθ', ὁμολόγει τὴν παρθένον
μηθενί· τὸ γὰρ πρᾶγμ' ἐcτὶν οὐ cὸν ἀλλ' ἐμόν.
πρεcβύτερόc εἰμι· coὶ μέν ἐcτ' ἔνδον γυνή,
θυγάτηρ, ἐμοὶ δὲ δεῖ γενέcθαι.
(Χα.) Cμικρίνη,
οὐδὲν μέλει coι μετριότητοc;
(Cμ.) διὰ τί, παῖ;
(Χα.) ὢν τηλικοῦτοc παῖδα μέλλειc λαμβάνειν;
(Cμ.) πηλίκοc;
(Χα.) ἐμοὶ μὲν παντελῶc δοκεῖc γέρων.
(Cμ.) μόνοc γεγάμηκα πρεcβύτεροc;
(Χα.) ἀνθρωπίνωc
τὸ πρᾶγμ' ἔνεγκε, Cμικρίνη, πρὸc τῶν θεῶν.
τῆι παιδὶ ταύτηι γέγονε Χαιρέαc ὁδὶ
cύντροφοc ὁ μέλλων λαμβάνειν αὐτήν. τί οὖν
λέγω; cὺ μηδὲν ζημιοῦ· τὰ μὲν ὄντα γὰρ
ταῦθ' ὅcαπέρ ἐcτι λαβὲ cὺ πάντα, κύριοc
γενοῦ, δίδομέν coι· τὴν δὲ παιδίcκην τυχεῖν
καθ' ἡλικίαν ἔαcον αὐτὴν νυμφίου.
ἐκ τῶν ἰδίων ἐγὼ γὰρ ἐπιδώcω δύο
τάλαντα προῖκα.
(Cμ.) πρὸc θεῶν, Μελιτίδηι
λαλεῖν ὑπείληφαc; τί φήιc; ἐγὼ λάβω
τὴν οὐcίαν, τούτωι δὲ τὴν κόρην ἀφῶ
ἵν', ἂν γένηται παιδίον, φεύγω δίκην
ἔχων τὰ τούτου;
Χα. τοῦτο δ' οἴει; κατάβαλε.
(Cμ.) "οἴει;" λέγειc; τὸν Δᾶον ὡc με πέμψατε
ἵν' ἀπογραφὴν ὧν κεκόμικεν δή μοι—
(Χα.) τί χρὴ
]εμ̣' ἢ τί ⟨ποτε⟩ ποιεῖν μ' ἔδει;